# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ

ΨΑΛΛΟΜΕΝΟΣ ΕΙΣ ΠΑΣΑΝ ΘΛΙΨΙΝ ΨΥΧΗΣ
ΕΙΣ ΤΟ ΕΝ ΜΑΝΤΑΜΑΔΩ ΛΕΣΒΟΥ
ΙΕΡΟΝ ΠΡΟΣΚΥΝΗΜΑ

## ΤΟΥ ΤΑΞΙΑΡΧΟΥ ΜΙΧΑΗΛ

ΕΝΘΑ Η ΘΑΥΜΑΤΟΥΡΓΟΣ ΑΝΑΓΛΥΦΟΣ
ΙΕΡΑ ΕΙΚΩΝ ΑΥΤΟΥ

ΠΟΝΗΘΕΙΣ ΠΑΡΑ ΑΘΑΝΑΣΙΟΥ ΤΟΥ ΕΚ ΡΑΙΔΕΣΤΟΥ
ΔΙΟΡΘΩΘΕΙΣ ΔΕ ΚΑΙ ΣΥΜΠΛΗΡΩΘΕΙΣ
ΕΠΙΜΕΛΕΙΑ ΤΟΥ ΑΕΙΜΝΗΣΤΟΥ ΜΗΤΡΟΠΟΛΙΤΟΥ ΜΗΘΥΜΝΗΣ
ΚΥΡΟΥ ΙΑΚΩΒΟΥ ΜΑΛΛΙΑΡΟΥ
ΤΟΥ ΕΚ ΠΛΩΜΑΡΙΟΥ ΤΟ 1979

*«Ἐβουλόμην σοι, Μιχαήλ, ᾆσμα πρέπον
ᾆσαι πρεπόντως, ἀλλ᾽ ἄϋλον οὐκ ἔχω».*

Έκδοσις: ΕΚΚΛΗΣΙΑΣΤΙΚΟΥ ΣΥΜΒΟΥΛΙΟΥ ΤΟΥ ΙΕΡΟΥ
ΠΡΟΣΚΥΝΗΜΑΤΟΣ ΤΑΞΙΑΡΧΟΥ ΜΙΧΑΗΛ, ΜΑΝΤΑΜΑΔΟΥ ΛΕΣΒΟΥ

ΜΥΤΙΛΗΝΗ 2007



*Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι,*
*δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι,*
*ἵνα ταῖς ὑμῶν δεήσεσι τειχήσητε ἡμᾶς*
*σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης,*
*φρουροῦντες ἡμᾶς, προσπίπτοντες ἐκτενῶς*
*καί βοῶντας·*
*ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς·*
*ὡς Ταξιάρχαι τῶν ἄνω δυνάμεων.*



# ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ

Μέ χαράν παραδίδομεν εἰς τούς εὐσεβεῖς χριστιανούς καί προσκυνητάς τοῦ Ἱεροῦ Προσκυνήματος τοῦ Ταξιάρχου Μιχαήλ, Μανταμάδου, τό παρόν βιβλιάριον. Περιέχει τόν Παρακλητικόν κανόνα πρός τόν Ἀρχάγγελον, τόν ὁποῖον εὕρομεν ψαλλόμενον ἐν τῷ Ἱερῷ Προσκυνήματι, ἀλλ' ἔχοντα πολλάς ἐλλείψεις. Τόν κανόνα συνέγραψεν ὁ ἐκ Ραιδεστοῦ Ἀθανάσιος, ὡς ἐμφαίνεται καί ἐκ τῆς ἀκροστιχίδος αὐτοῦ, ὁ ὁποῖος συνέγραψε καί ἄλλα ἔργα, διαμένων πλησίων τοῦ Μητροπολίτου Μηθύμνης Διονυσίου (1774 - 1801). Τά ἔργα ταῦτα ἀντέγραψεν ὁ ἐξ Ἁγιάσου καλλιγράφος ἱερομόναχος Χρύσανθος, σώζονται δέ εἰς χειρόγραφα τῆς Ἱερᾶς Μονῆς Λειμῶνος καί τοῦ Προσκυνήματος Μανταμάδου.

Τάς ἐλλείψεις συνεπληρώσαμεν ἐκ τῆς ἱερᾶς ἀκολουθίας τοῦ Ἀρχιστρατήγου Μιχαήλ τῆς 6ης Σεπτεμβρίου. Τροπάρια δέ τινα, πρός συμπλήρωσιν αὐτοῦ, ἐποιήσαμεν ἐξ ἀρχῆς. Παραδίδομεν οὕτω αὐτόν εἰς τό Ἱερόν Προσκύνημα τό ὁποῖον φυλάσσει ἀπ' αἰώνων τήν θαυματουργόν ἀνάγλυφον ἱεράν εἰκόνα τοῦ Ταξιάρχου Μιχαήλ, καί τό ὁποῖον μέ τόσον σεβασμόν καί ἀγάπην περιβάλει ἡ ὀρθοδόξως λατρεύουσα τόν Κύριον, Λεσβιακή ψυχή.

Τούς ψάλλοντας τήν παροῦσαν ἱεράν παράκλησιν πρός τόν μέγαν ἡμῶν προστάτην, ἀντιλήπτορα καί βοηθόν, τόν Ἀρχιστράτηγον Μιχαήλ, θερμῶς παρακαλοῦμεν νά μνημονεύουν τοῦ τε πονήσαντος καί τοῦ ἐπιμεληθέντος τήν παροῦσαν ἔκδοσιν.

# ΚΑΝΩΝ ΠΑΡΑΚΛΗΤΙΚΟΣ
## ΕΙΣ ΤΟΥΣ
## ΠΑΜΜΕΓΙΣΤΟΥΣ ΤΑΞΙΑΡΧΑΣ

*Εὐλογήσαντος τοῦ ἱερέως*
*ἀρχόμεθα τοῦ ΡΜΒ 142 Ψαλμοῦ:*

Κύριε, εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τήν δέησίν μου ἐν τῇ ἀληθείᾳ σου εἰσάκουσόν μου ἐν τῇ δικαιοσύνῃ σου. Καί μή εἰσέλθῃς εἰς κρίσιν μετά τοῦ δούλου σου, ὅτι οὐ δικαιωθήσεται ἐνώπιόν σου πᾶς ζῶν. Ὅτι κατεδίωξεν ὁ ἐχθρός τήν ψυχήν μου, ἐταπείνωσεν εἰς γῆν τήν ζωήν μου. Ἐκάθισέ με ἐν σκοτεινοῖς, ὡς νεκρούς αἰῶνος, καί ἠκηδίασεν ἐπ' ἐμέ τό πνεῦμα μου, ἐν ἐμοί ἐταράχθη ἡ καρδία μου. Ἐμνήσθην ἡμερῶν ἀρχαίων, ἐμελέτησα ἐν πᾶσι τοῖς ἔργοις σου, ἐν ποιήμασι τῶν χειρῶν σου ἐμελέτων. Διεπέτασα πρός σέ τάς χεῖράς μου, ἡ ψυχή μου ὡς γῆ ἄνυδρός σοι. Ταχύ εἰσάκουσόν μου, Κύριε, ἐξέλιπε τό πνεῦμά μου. Μή ἀποστρέψῃς τό πρόσωπόν σου ἀπ' ἐμοῦ, καί ὁμοιωθήσομαι τοῖς καταβαίνουσιν εἰς λάκκον. Ἀκουστόν ποίησόν μοι τό πρωΐ τό ἔλεός σου, ὅτι ἐπί σοί ἤλπισα. Γνώρισόν μοι, Κύριε, ὁδόν, ἐν ᾗ

πορεύσομαι, ὅτι πρός σέ ἦρα τήν ψυχήν μου. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, Κύριε, πρός σέ κατέφυγον. Δίδαξόν με τοῦ ποεῖν τό θέλημά σου, ὅτι σύ εἶ ὁ Θεός μου. Τό Πνεῦμα σου τό ἀγαθόν ὁδηγήσει με ἐν γῇ εὐθείᾳ· ἕνεκεν τοῦ ὀνόματός σου, Κύριε, ζήσεις με. Ἐν τῇ δικαιοσύνῃ σου ἐξάξεις ἐκ θλίψεως τήν ψυχήν μου, καί ἐν τῷ ἐλέει σου ἐξολοθρεύσεις τούς ἐχθρούς μου. Καί ἀπολεῖς πάντας τούς θλίβοντας τήν ψυχήν μου, ὅτι ἐγώ δοῦλος σου εἰμί.

*Καί εὐθύς τό «Θεός Κύριος» μετά τῶν στίχων αὐτοῦ.*

*Εἶτα τά παρόντα τροπάρια*
*Ἦχος δ΄. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ*

Τῶν Ἀσωμάτων λειτουργῶν Ἀρχιστράτηγε, ὁ κατ' ἐνώπιον Θεοῦ παριστάμενος, καί ταῖς ἐκεῖθεν λάμψεσι λαμπόμενος, φαίδρυνον, ἁγίασον τούς πιστῶς σε ὑμνοῦντας, πάσης ἀπολύτρωσαι τοῦ ἐχθροῦ τυραννίδος, καί εἰρηναίαν αἴτησαι ζωήν, τοῖς Βασιλεῦσι καί πᾶσι τοῖς πέρασι.

*Δόξα.*

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχήσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς, προσπίπτοντες ἐκτενῶς καί βοῶντας· ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς· ὡς Ταξιάρχαι τῶν ἄνω δυνάμεων.

*Καί νῦν. Θεοτοκίον.*

Οὐ σιωπήσωμεν ποτέ Θεοτόκε, τάς δυναστείας σου λαλεῖν οἱ ἀνάξιοι· εἰμή γάρ σύ προΐστασο

πρεσβεύουσα, τίς ἡμᾶς ἐρρύσατο ἐκ τοσούτων κινδύνων, τίς δέ διεφύλαξεν ἕως νῦν ἐλευθέρους; Οὐκ ἀποστῶμεν Δέσποινα ἐκ σοῦ. Σούς γάρ δούλους σώζεις ἀεί ἐκ παντοίων δεινῶν.

*Εἶτα ὁ Ν' (50) ψαλμός:*

Ελέησόν με ὁ Θεός κατά τό μέγα ἔλεός σου, καί κατά τό πλῆθος τῶν οἰκτιρμῶν σου ἐξάλειψον τό ἀνόμημά μου. Ἐπί πλεῖον πλῦνον με ἀπό τῆς ἀνομίας μου, καί ἀπό τῆς ἁμαρτίας μου καθάρισόν με. Ὅτι τήν ἀνομίαν μου ἐγώ γινώσκω, καί ἡ ἁμαρτία μου ἐνώπιόν μου ἐστί διά παντός. Σοί μόνῳ ἥμαρτον, καί τό πονηρόν ἀνώπιόν σου ἐποίησα, ὅπως ἄν δικαιωθῇς ἐν τοῖς λόγοις σου, καί νικήσῃς ἐν τῷ κρίνεσθαί σε. Ἰδού γάρ ἐν ἀνομίαις συνελήφθην καί ἐν ἁμαρτίαις ἐκίσσησέ με ἡ μήτηρ μου. Ἰδού γάρ ἀλήθειαν ἠγάπησας· τά ἄδηλα καί τά κρύφια τῆς σοφίας σου ἐδήλωσάς μοι. Ῥαντιεῖς με ὑσσώπῳ καί καθαρισθήσομαι· πλυνεῖς με, καί ὑπέρ χιόνα λευκανθήσομαι. Ἀκουτιεῖς μοι ἀγαλλίασιν καί εὐφροσύνην, ἀγαλλιάσονται ὀστέα τεταπεινωμένα. Ἀπόστρεψον τό πρόσωπόν σου ἀπό τῶν ἁμαρτιῶν μου, καί πάσας τάς ἀνομίας μου ἐξάλειψον. Καρδίαν καθαράν κτίσον ἐν ἐμοί, ὁ Θεός, καί πνεῦμα εὐθές ἐγκαίνισον ἐν τοῖς ἐγκάτοις μου.
Μή ἀπορρίψῃς με ἀπό τοῦ προσώπου σου, καί τό Πνεῦμα σου τό ἅγιον μή ἀντανέλῃς ἀπ' ἐμοῦ. Ἀπόδος μοι τήν ἀγαλλίασιν τοῦ σωτηρίου σου, καί Πνεύματι ἡγεμονικῷ στήριξόν με. Διδάξω ἀνόμους τάς ὁδούς σου, καί ἀσεβεῖς ἐπί σέ ἐπιστρέψουσι. Ῥῦσαί με ἐξ αἱμάτων ὁ Θεός, ὁ Θεός τῆς σωτηρίας μου, ἀγαλλιάσεται ἡ γλῶσσα μου τήν δικαιοσύνην σου. Κύριε, τά χείλη μου ἀνοίξεις καί τό στόμα μου ἀναγγελεῖ τήν αἴνεσίν σου. ὅτι, εἰ ἠθέλησας θυσίαν ἔδωκα ἄν· ὁλοκαυτώματα οὐκ εὐδοκήσεις. Θυσίᾳ τῷ Θεῷ

πνεῦμα συντετριμμένον, καρδίαν συντετριμμένην καί τεταπεινωμένην ὁ Θεός οὐκ ἐξουδενώσει. Ἀγάθυνον, Κύριε, ἐν τῇ εὐδοκίᾳ σου τήν Σιών καί οἰκοδομηθήτω τά τείχη Ἱερουσαλήμ.
Τότε εὐδοκήσεις εἰς θυσίαν δικαιοσύνης, ἀναφοράν καί ὁλοκαυτώματα. Τότε ἀνοίσουσιν ἐπί τό θυσιαστήριόν σου μόσχους.

*Καί μετ' αὐτόν ὁ Κανών, οὗ ἡ ἀκροστιχίς.*
*«Ἐπικαλεῖσθε κάμνοντες τούς Ἀγγέλους».*
*Ἐν δέ τοῖς Θεοτοκίοις «Ἀθανασίῳ».*
*Ὠδή α'. Ἦχος πλ. δ'. Ὑγράν διοδεύσας.*

Ἐκ βάθους καρδίας μου προσελθών, ναῷ τῷ πανσέπτῳ τῶν ἀΰλων σου λειτουργῶν, Ἁγίας Τριάς τούτους φρουρούς μοι, ἐκδυσωπῶ σε προστῆσαι ἑκάστοτε.

Πολλαῖς περιπέπτωκα συμφοραῖς, καί νόσοις ποικίλαις ἐκ πολλῶν μου ἁμαρτιῶν, διό Μιχαήλ ὁ Ταξιάρχης καί Γαβριήλ με πασῶν τούτων ρύσασθε.

Ἱστάμενος ἔμπροσθεν τριλαμπροῦς, θεότητος αἴγλης καί θεούμενος μετοχῇ, φωτός τοῦ ἀρρήτου Ταξιάρχα, τῆς τῶν παθῶν με σκοτώσεως λύτρωσαι.

*Δόξα.*

Κακίας καί βλάβης τῶν δυσμενῶν, Μιχαήλ ὁ ἄρχων τών Ἀγγέλων με ἐξελοῦ, καί πᾶσαν πικρίαν τῆς ψυχῆς μου, εἰς γλυκασμόν εὐμενῶς μεταποίησον.

*Καί νῦν. Θεοτοκίον.*

Ἀρρήτως συνέλαβες Μαριάμ, Θεόν τῶν ἁπάντων, ἐν γαστρί σου παρθενικῇ, διό μετά πάντων τῶν Ἀγγέλων ὑπέρ ἡμῶν ὡς Υἱόν σου ἱκέτευσον.

*Ὠδή γ΄. Οὐρανίας ἁψῖδος.*

Ἀπορήσας ἐκ πάντων ὀδυνηρῶς κράζω σοι, πρόφθασον κἀμοί Ταξιάρχα, τῷ ἐκζητοῦντι νῦν, τήν σήν ἀντίληψιν καί τήν ταχεῖαν σου σκέπην, ὡς πολλοῖς προέφθασας καί πάλαι ἔσωσας.

Λειτουργοί μυστηρίων τῶν τοῦ Θεοῦ μέγιστοι, οἱ πρός σωτηρίαν ἀνθρώπων καταπεμπόμενοι, θεῖοι Ἀρχάγγελοι, τούς σούς ἱκέτας φρουρεῖτε, καί πρός βίον ἔνθεον τούτους προτρέπετε.

Ἐπί κλίνης ἀθλίως κατακλιθείς ἔρριμμαι, πρό πυλῶν ναοῦ σου, Ἀγγέλων ὦ Ἀρχιστράτηγε, σύ κατοικτείρησον τόν σόν ἱκέτην καί δός μοι, τῆς ψυχῆς τήν ἴασιν καί τήν τοῦ σώματος.

*Δόξα.*

Ἱκεσίαν μου ταύτην, τήν πενιχράν πρόσδεξαι, ἥν ἀπό καρδίας ἐν πόθῳ καί κατανύξει προσάγω σοι, θεῖε Ἀρχάγγελε, καί πρός τόν Κτίστην μου ταύτην, ἀναφέρων αἴτησαι πταισμάτων ἄφεσιν.

*Καί νῦν. Θεοτοκίον.*

Θεολόγων αἱ γλῶσσαι τό ἐπί σοί μέγιστον, ἐξειπεῖν τολμῶσαι ἀδυνατοῦσιν Ἁγνή, μυστήριον,

διό τούς σιγῇ τοῦτο προσκυνοῦντας Παρθένε, καί πιστῶς δοξάζοντας σκέπε καί φύλαττε.

Διάσωσον ἀπό κινδύνων τούς δούλους σου, Μιχαήλ Νόε, ὅτι πάντες ἐν πειρασμοῖς ναῷ σου προστρέχομεν, ὡς τάχιστον βοηθόν τῶν ἐν πόνοις.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, Πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

*Εἶτα μνημονεύει ὁ ἱερεύς*
*τῶν δι' οὕς ἡ παράκλησις γίνεται*
*καί ψάλλομεν τό «Κύριε ἐλέησον».*
*Ὁ ἱερεύς, ὅτι ἐλεήμων.*
*Καί εὐθύς λέγομεν κάθισμα.*

*Ἦχος β'. Πρεσβεία θερμή.*

Πρεσβείαν τήν σήν αἰτούμεθα, Ἀρχάγγελε, οἱ πάλαι τε καί νῦν τῷ Ναῷ σου προστρέχοντες, Μιχαήλ πρωτάγγελε φάνηθι, καί τάς παγίδας τοῦ ἐχθροῦ διάλυσον, ὡς ἔχων ἐξουσίαν Ἀρχιστράτηγε.

*Ὠδή δ'. Εἰσακήκοα Κύριε.*

Συμβουλίᾳ τοῦ ὄφεως, ὑπακούσας ὅλως, Θεοῦ Ἀρχάγγελε, παρρησίας σῆς γεγύγνωμαι, μεταγνόντα ἤδη μή παρίδης με.

Θεωρίας, Ἀρχάγγελε, τῶν σκοτεινοτάτων δαιμόνων ρῦσαί με, ἐν καιρῷ ὅτε τοῦ σώματος, ἡ ψυχή μου μέλλει ἐκχωρίζεσθαι.

Ἐπί σοί τάς ἐλπίδας μου, ὅλας ἀνεθέμην, Θεοῦ Ἀρχάγγελε, τήν ψυχήν μου παραμύθησον, καί σαρκός τούς πόνους καταπράϋνον.

*Δόξα*

Καταφύγιον ἅπαντες, καί ὠχυρωμένον πύργον, πυρίμορφοι, τόν ναόν ὑμῶν, Ἀρχάγγελοι, κεκτημένοι νῦν ὑμῖν προσφεύγομεν.

*Καί νῦν. Θεοτοκίον.*

Ἀποστάντα τοῦ κτίστου μου, ἀλλ' ἐν μετανοίᾳ ἐπανερχόμενον, τούτῳ πάλιν με οἰκείωσον, σύ Παρθενομήτορ, μεσιτείαις σου.

*Ὠδή ε'. Φώτισον ἡμᾶς.*

Ἅπαντα φλογμόν ἀθυμίας ἀποσβέσατε, τῆς ταπεινῆς μου ψυχῆς οἱ πυρσολαμπεῖς, καί τῆς χαρᾶς ὑμῶν δρόσον ταύτη ἐκπέμψατε.

Μέτρῳ τῶν κακῶν ὑπερέβην πάντα ἄνθρωπον, διό ὀδόντων δράκοντος φοβεροῦ, καταπιεῖν με ζητοῦντος, Ἄγγελοι σώσατε.

Νίκην τῶν ἐχθρῶν, τῶν ἀΰλων, ὦ Ἀρχάγγελοι, τῶν κινουμένων πάντοθεν καθ' ἡμῶν, συμπολεμοῦντες ἀοράτως μοι παρέχετε.

*Δόξα.*

Ὅλον μου τόν νοῦν, ἀστραπαῖς ταῖς ἐκ προσώπου σου, καταλαμπρύνας κάθαρον Μιχαήλ, ἵνα τρανῶς καθορῶ σου κάλλος τό ἄρρητον.

*Καί νῦν. Θεοτοκίον.*

Νέαν καί δεινήν, ἐφιστᾶσαν μοι τήν ἔφοδον, ἐκ ληστρικῶν τοῦ πονηροῦ προσβολῶν, σῇ Θεοτόκε δυνάμει ἄρδην ἀπώλεσον.

*Ὠδή ς΄. Τήν δέησιν ἐκχεῶ.*

Νεότητος τῆς ἐμῆς Ἀρχάγγελε, ἁμαρτίας καί ἀγνοίας μου πάσας, τόν ποιητήν καί Θεόν μου δυσώπει, ἐπιλησθῆναι ἐν ὥρᾳ τῆς κρίσεως, καί μοίρας αὐτοῦ τῆς δεξιᾶς, δωρεάν με ποιῆσαι συμμέτοχον.

Τούς μώλωπας καί τά τραύματα οἶδας, τῆς ἀθλίας μου σαρκός Ταξιάρχα, καί τήν πικράν καί ὀλέθριον ταύτης, τῆς ταλαιπώρου καρδίας μου κάκωσιν· διό τῇ δεήσει μου προσχών, θεραπείαν τήν τούτων μοι βράβευσον.

Εἰσάκουσον, Μιχαήλ Ἀρχάγγελε, τῆς φωνῆς τῶν ἐν τῷ θείῳ ναῷ σου, καί πρό τῆς σῆς θειοτάτης εἰκόνος, γονυπετούντων θερμαῖς παρακλήσεσι, καί δός τῶν εὐχῶν ἐπιτυχεῖν, καί χαρᾷ ἀπελθεῖν εἰς τά ἴδια.

*Δόξα.*

Συνέκδημον ἐν ἐξόδῳ ψυχῆς μου, πρός πορείαν τήν οὐράνιον ἔχειν, σέ δυσωπῶ, Μιχαήλ Ταξιάρχα, καί τῆς ζωῆς μου ἐνταῦθα συλλήπτορα, πρός πᾶσαν παράταξιν ἐχθρῶν, καί φρουράν μου καί σκέπην καί φύλακα.

*Καί νῦν. Θεοτοκίον.*

Ἀνείκαστον τοῦ ἐκ σοῦ γεννηθέντος, Θεοτόκε ἀειπάρθενε οἶδα, τήν διά σοῦ σωτηρίαν τῷ κόσμῳ, καί εὐσπλαγχίαν καί οἶκτον καί ἔλεον· διό ὑπέρ πάντων τῶν πιστῶν, πρός αὐτόν σε μεσίτην προβάλλομαι.

Διάσωσον ἀπό κινδύνων τούς δούλους σου, Ταξιάρχα, ὅτι πάντες πρός τόν Θεόν μεσίτην θερμότατον, κεκτήμεθα, Ἀρχάγγελε τοῦ Κυρίου.

Ἐπίβλεψον ἐν εὐμενείᾳ, πανύμνητε Θεοτόκε, ἐπί τήν ἐμήν χαλεπήν τοῦ σώματος κάκωσιν, καί ἴασαι τῆς ψυχῆς μου τό ἄλγος.

*Μνημονεύει πάλιν ὁ ἱερεύς*
*τῶν δι' οὕς ἡ παράκλησις γίνεται*
*καί ψάλλομεν τό «Κύριε ἐλέησον».*
*Μετά τήν ἐκφώνησιν «Ὅτι ἐλεήμων».*

*Κοντάκιον.*

*Ἦχος δ'. Ὁ ὑψωθείς ἐν τῷ Σταυρῷ.*

Οἱ τῷ Ναῷ Σου τῷ σεπτῷ παρεδρεύοντες, καί ἐν αὐτῷ σε εὐσεβῶς μεγαλύνοντες, ὡς τῶν ἀΰλων τάξεων πρωτεύοντα, πίστει δυσωποῦμέν σε, Ἀρχιστράτηγε θεῖε, πάσης ἐξελοῦ ἡμᾶς τῆς ἐχθρῶν τυραννίδος, καί τῆς μελλούσης ρῦσαι ἀπειλῆς, καί τῆς γεέννης ταῖς σαῖς παρεκλήσεσι.

*Προκείμενον. Ἦχος δ'.*
*«Ὁ ποιῶν τούς Ἀγγέλους Αὐτοῦ πνεύματα*
*καί τούς λειτουργούς Αὐτοῦ πυρός φλόγα».*

*Στίχ.: Εὐλόγει ἡ ψυχή μου τόν Κύριον.*
*Ὁ ἱερεύς: Τό Εὐαγγέλιον κατά Ματθαῖον.*
*(Κεφ. 18, στίχ. 10-20).*

Εἶπεν ὁ Κύριος. Ὁρᾶτε μή καταφρονήσητε ἑνός τῶν μικρῶν τούτων· λέγω γάρ ὑμῖν ὅτι οἱ ἄγγελοι αὐτῶν ἐν οὐρανοῖς διά παντός βλέπουσι τό πρόσωπον τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· ἦλθε γάρ ὁ υἱός τοῦ ἀνθρώπου σῶσαι τό ἀπολωλός. Τί ὑμῖν δοκεῖ; ἐάν γένηταί τινι ἀνθρώπῳ ἑκατόν πρόβατα καί πλανηθῇ ἕν ἐξ αὐτῶν, οὐχί ἀφείς τά ἐνενήκοντα ἐννέα ἐπί τά ὄρη, πορευθείς ζητεῖ τό πλανώμενον; καί ἐάν γένηται εὑρεῖν αὐτό, ἀμήν λέγω ὑμῖν, ὅτι χαίρει ἐπ' αὐτῷ μᾶλλον, ἤ ἐπί τοῖς ἐνενήκοντα ἐννέα τοῖς μή πεπλανημένοις. Οὕτως οὐκ ἔστι θέλημα ἔμπροσθεν τοῦ πατρός ὑμῶν τοῦ ἐν οὐρανοῖς ἵνα ἀπόληται εἷς τῶν μικρῶν τούτων. Πάλιν ἀμήν λέγω ὑμῖν ὅτι ἐάν δύο ὑμῶν συμφωνήσωσιν ἐπί τῆς γῆς περί παντός πράγματος οὗ ἐάν αἰτήσωνται, γενήσεται αὐτοῖς παρά τοῦ πατρός μου τοῦ ἐν οὐρανοῖς· οὗ γάρ εἰσι δύο ἤ τρῖς συνηγμένοι εἰς τό ἐμόν ὄνομα, ἐκεῖ εἰμι ἐν μέσῳ αὐτῶν.

*Ὁ χορός. Δόξα Σοι Κύριε δόξα Σοι.*
*Δόξα. Ταῖς τῶν Ἀσωμάτων πρεσβείαις ἐλεῆμων.*

*Καί νῦν. Ταῖς τῆς Θεοτόκου.*
*Στίχ. Ἐλέησόν με ὁ Θεός.*
*Ἦχος πλ. β'. Ὅλην ἀποθέμενοι.*

Ταξιάρχαι μέγιστοι, καί ἀρχηγοί τῶν ἀγγέλων, προστᾶται θερμότατοι, Μιχαήλ καί Γαβριήλ, πάσης κτίσεως· οἱ περί τήν ἄκτιστον τῆς Τριάδος δόξαν, ἐν ὑψίστοις διϊπτάμενοι, καί ἐπινίκιον ὕμνον

τόν τρισάγιον μέλποντες, Θεόν τόν τρισυπόστατον, κτίστην τῶν ἁπάντων καί εὔσπλαχνον, θείαις προστασίαις ὑμῶν ἐκδυσωπεῖται ἐκτενῶς, ἐπιτυχεῖν ἡμᾶς ἅπαντας, τῆς Αὐτοῦ ἐλλάμψεως.

*Ὁ ἱερεύς. Σῶσον ὁ Θεός τόν λαόν Σου.*
*Τό «Κύριε ἐλέησον» καί μετά τήν ἐκφώνησιν*
*«Ἐλέει καί οἰκτιρμοῖς».*

*Ὠδή ζ'. Οἱ ἐκ τῆς Ἰουδαίας.*

Τῇ δύναμῄ Σου πάσης, λοιμικῆς ἀσθενείας καί πυρετοῦ χαλεποῦ, τούς σέ προσκαλουμένους, ἀπάλλαξον ἐν τάχει, Μιχαήλ Ἀρχιστράτηγε, καί ὀφθαλμίας δεινῆς καί πάσης μαλακίας.

Οἱ τόν θρόνον κυκλοῦντες, τῆς τρισυποστάτου Θεότητος ἄγγελοι, καί λάμψεως ἐκείνης μετέχοντες ἀρρήτως, τοῖς ἐν σκότει καθεύδουσι, ἀντιπαρέχοντες φῶς νυκτός ἀπολυτροῦσθε.

Υπομάζια βρέφη, ἀγκαλῶν τῶν μητρώων καταθερίζονται, θανάτῳ πικρωτάτῳ διό συγκοπτομένας, Ταξιάρχα οἰκτείρησον, τήν κατ' αὐτῶν τοῦ Θεοῦ ὀργήν ἐξιλεώσας.

*Δόξα.*

Σωτηρίαν παράσχου, τοῖς μακρόθεν ἅπασιν ἐπιφοιτήσασι, συνάμα τοῖς πλησίον Ναῷ Σου τῷ ἁγίῳ Μιχαήλ Ἀρχιστράτηγε, τῶν ὁρατῶν τε αὐτῶν ἐχθρῶν καί ἀοράτων.

*Καί νῦν. Θεοτοκίον.*

Σέ τήν Μόνην Παρθένον, καί μητέρα ἁπάντων τοῦ Βασιλέως Χριστοῦ, Θεοῦ τοῦ ζωοδότου, ὑμνοῦμεν, προσκυνοῦμεν Μαριάμ χαριτώνυμε, καί εὐλογοῦμεν πιστῶς εἰς πάντας τούς αἰῶνας.

*Ὠδή η'. Τόν βασιλέα τῶν οὐρανῶν.*

Ἀποτεφρώσαντες, τά ὑλώδη μου πάθη, τῷ πυρί τῆς Ὑμῶν ἀπαθείας ζῆν με ἐν ἁγνείᾳ, Ἀρχάγγελοι φρουρεῖτε.

Γενναιοφρόνως μοι, καί στερρᾷ διανοίᾳ, προσβολάς τοῦ διαβόλου τροποῦσθαι, θεῖε Ταξιάρχα, τῇ Σῇ δυνάμει δίδου.

Γαλήνην ἄνωθεν, τοῖς ἱκέταις Σου δίδου, Μιχαήλ ὁ Ἄρχων τῶν ἀγγέλων, περιφερομένοις τοῖς κύμασι τοῦ βίου.

*Δόξα.*

Ἐπί τά πάλαι σου, κατιδόντες σημεῖα, παρεγένοντο τά πλήθη τῶν ὧδε, δεῖξον οὖν κἄν τούτοις, τήν Σήν θαυματουργίαν.

*Καί νῦν. Θεοτοκίον.*

Ἴθυνον Δέσποινα τόν ἐμόν βίον πάντα, πρός τόν θεῖον νόμον τοῦ Χριστοῦ μου, πέμπουσά μοι χάριν τήν Σήν εἰς σωτηρίαν.

*Ὠδή θ'. Κυρίως Θεοτόκον.*

Λιμένι τοῦ Σωτῆρος, τήν οἰκτράν ψυχήν μου, χωριζομένην τοῦ σώματος Ἄγγελοι, τῆς μετανοίας ἱστίῳ ἐγκαθορμίσατε.

Ὀρύστης καί φρουρός μου καί παραμυθία, τῆς τελευταίας πνοῆς μου Ἀρχάγγελε, μή ἀπ' ἐμοῦ χωρισθείης, καί τότε δέομαι.

Ὑπόπτεροι τελοῦντες, τάχει λειτουργεῖτε, καί φοβεροί τοῖς πολλοῖς ἐπιδείκνυσθε, διό ἐμοί ἐπελθόντες, φαιδροί ὀφθείητε.

*Δόξα.*

Σύν πάσαις οὐρανίων, ταῖς χοροστασίαις, ὑπέρ ἡμῶν τόν Θεόν ἱκετεύετε, οἱ ἀρχηγοί τῶν Ἀγγέλων καί ὑπερεύχεσθε.

*Καί νῦν. Θεοτοκίον.*

Ὡς μήτηρ τοῦ Θεοῦ μου, Κόρη Παναγία, τοῖς οἰκτιρμοῖς σου, ἡμέρα τῆς κρίσεως, τοῦ σοῦ Υἱοῦ ἡμᾶς ρῦσαι τῆς κατακρίσεως.

*Καί εὐθύς τό «Ἄξιόν ἐστιν» καί τά ἑξῆς.*

*Μεγαλυνάρια.*

Ὢ τῆς θεωρίας Σου τῆς φρικτῆς, καί τῆς καλλονῆς Σου, τῆς πυρίνης καί θεαυγοῦς, κατέχεις τό σκῆπτρον Μιχαήλ τῇ χειρί σου, καί μέλπεις τῇ Τριάδι, ὕμνον τρισάγιον.

Πρῶτος ὡς ὑπάρχων τῆς στρατιᾶς, τῆς ἐπουρανίου Ἀρχιστράτηγε Μιχαήλ, πάρεσο, προστάτα, πάντων ἡμῶν ἐν μέσῳ τῶν πίστει τε καί πόθῳ, ἀνευφημούντων Σε.

Ἔχων σε προστάτην καί βοηθόν, φύλακα καί ρύστην, τῆς ψυχῆς μου τῆς ταπεινῆς, Μιχαήλ πρωτάρχα, καί μέγα Ταξιάρχα, ἐν ὥρᾳ τοῦ κινδύνου Σύ μοι βοήθησον.

Μιχαήλ Ἀρχάγγελε τοῦ Χριστοῦ, μή ἔλθῃς ὡς λέων ἀγριώτατος ἐπ' ἐμέ, μηδέ τήν ψυχήν μου ἁρπάσῃς ὡς στρουθίον, ἐν ὥρα τοῦ θανάτου Σύ μοι βοήθησον.

Χαίροις, ἱερώτατε Γαβριήλ, χαίροις ὦ προστάτα, τῶν Ἀγγέλων προμηνυτά, χαίροις ὁ τό Χαῖρε μηνύσας τῇ Παρθένῳ, ἐν Ναζαρέτ τῇ πόλει, σέ μεγαλύνομεν.

Δεῦτε εὐφημήσωμεν οἱ πιστοί, τούς δύο φωστῆρας τούς μεγάλους καί φωταυγεῖς, Μιχαήλ τόν μέγαν καί Γαβριήλ τόν θεῖον, τούς δύο Ταξιάρχας τοῦ Παντοκράτορος.

Πᾶσαι τῶν ἀγγέλων αἱ στρατιαί, Πρόδρομε Κυρίου, Ἀποστόλων ἡ δωδεκάς, οἱ ἅγιοι πάντες μετά τῆς Θεοτόκου, ποιήσατε πρεσβείαν εἰς τό σωθῆναι ἡμᾶς.

*Εἶτα τό Τρισάγιον, Παναγία Τριάς, Πάτερ ἡμῶν.*

*Ὁ ἱερεύς. Ὅτι σοῦ ἐστιν.*
*Καί τό ἀπολυτίκιον. Ἦχος δ'.*

Τῶν οὐρανίων στρατιῶν Ἀρχιστράτηγοι, δυσωποῦμεν ὑμᾶς ἡμεῖς οἱ ἀνάξιοι, ἵνα ταῖς ὑμῶν δεήσεσι τειχήσητε ἡμᾶς, σκέπῃ τῶν πτερύγων τῆς ἀΰλου ὑμῶν δόξης, φρουροῦντες ἡμᾶς, προσπίπτοντες ἐκτενῶς καί βοῶντας· ἐκ τῶν κινδύνων λυτρώσασθε ἡμᾶς· ὡς Ταξιάρχαι τῶν ἄνω δυνάμεων.

*Ὁ ἱερεύς μνημονεύσας καί πάλιν τῶν πιστῶν, ὑπέρ ὧν ἡ παράκλησις γίνεται, ποεῖ ἀπόλυσιν. Μετά δέ ταύτην, ἐν ὅσῳ ἀσπαζόμεθα τήν ἁγίαν εἰκόνα, ψάλλεται τό παρόν.*

*Ἦχος β', Ὅτε ἐκ τοῦ ξύλου.*

Πάντας τούς τήν θείαν καί σεπτήν, Σοῦ ἀσπαζομένους εἰκόνα, Μιχαήλ μέγιστε, πάσης ἀπολύτρωσαι ὀργῆς καί θλίψεως, καί θανάτου ἀπάλλαξον, πικροῦ, αἰφνιδίου, καί δεινῆς κακώσεως, σοφέ Ταξίαρχε, ὅπως προστασίαις Σου θείαις πάντοτε σωζόμενοι πόθῳ, τό σεπτόν σου ὄνομα γεραίρωμεν.

Τήν πᾶσαν ἐλπίδα μου εἰς σέ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξον ἡμᾶς ὑπό τήν σκέπην σου.

*Ὁ ἱερεύς. Δι' εὐχῶν.*

ΤΡΙΣΤΙΧΟΝ

*«Μιχαήλ δέξαι παροῦσαν βίβλον καλῶς διδούς εἰρήνην,*
*ἄφεσιν τοῖς μέλπουσι*
*καί τήν κατ' ἄμφω ῥῶσιν τῷ πονήσαντι».*